# 0329-0390 - Gregorius Nazianzenus - In Aegyptiorum adventum 1

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2022 042 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

In Aegyptiorum adventum

[00001] ΛΟΓΟΣ ΛΔʹ.

[00002] Εἰς τοὺς Αἰγύπτου ἐπιδημήσαντας.

[00003] Αʹ.

[00004] Τοὺς ἀπ' Αἰγύπτου προσφθέγξομαι, δίκαιον γάρ·

[00005] ἐπειδὴ καὶ προθύμως συνεληλύθασι, τῷ ζήλῳ τὸν φθόνον νικήσαντες, Αἰγύπτου ταύτης, ἣν πλουτίζει μὲν ποταμὸς ἐκ γῆς ὕων, καὶ πελαγίζων ὥρια ἵνα καὶ αὐτὸς μικρόν τι μιμήσωμαι τοὺς περὶ ταῦτα κομψούς·

[00006] πλουτίζει δὲ Χριστὸς ὁ ἐμὸς, πρότερον μὲν εἰς Αἴγυπτον φυγαδευόμενος, νυνὶ δὲ ἀπ' Αἰγύπτου χορηγούμενος·

[00007] τότε μὲν, ἐκ τῆς Ἡρώδου παιδοφονίας, νῦν δὲ, ἐκ τῆς τῶν πατέρων φιλοτεκνίας·

[00008] Χριστὸς, ἡ καινὴ τροφὴ τῶν καλῶς πει νώντων, ἡ μείζων σιτοδοσία πάσης τῆς ἱστορου μένης τε καὶ πιστευομένης·

[00009] ὁ ἄρτος, ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ, τὴν ἀνόλεθρόν τε καὶ ἀκατάλυτον, περὶ οὗ καὶ νῦν ἀκούειν δοκῶ μοι λέγοντος τοῦ Πατρός·

[00010] Ἐξ Αἰγύπτου ἐκά λεσα τὸν Υἱόν μου.

[00011] Βʹ.

[00012] Ἀφ' ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος εἰς πάντας ἀν θρώπους, ὑγιῶς πιστευόμενός τε καὶ κηρυσσόμενος καὶ ὑμεῖς ἄριστοι καρποδόται πάντων, μάλιστα τῶν νῦν ὀρθῶς πιστευόντων, ὅσα ἐμὲ γινώσκειν, τὸν τῆς τοιαύτης τροφῆς, οὐκ ἐραστὴν μόνον, ἀλλὰ καὶ χορηγὸν, καὶ οὐκ ἔνδημον μόνον, ἀλλ' ἤδη καὶ ὑπερ όριον.

[00013] Ὑμεῖς γὰρ τρέφετε μὲν σωματικῶς δήμους καὶ πόλεις, ἐφ' ὅσον ἐξικνεῖται ὑμῶν τὸ φιλάνθρω πον·

[00014] τρέφετε δὲ πνευματικῶς, οὐ τὸν δεῖνα δῆμον, οὐδὲ τήνδε, ἢ τήνδε τὴν πόλιν μικροῖς ὁρίοις περι γραφομένην, κἂν φρονῶσιν ὑπέρλαμπρον, ἀλλὰ μικροῦ πᾶσαν τὴν οἰκουμένην.

[00015] Καὶ θεραπεύετε, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἃ καὶ λιμώττειν οὐ μέγα, καὶ μὴ λιμώττειν ῥᾴδιον·

[00016] ἀλλὰ λιμὸν τοῦ [36.244] ἀκοῦσαι λόγου Κυρίου, ὃν καὶ πάσχειν ἐλεεινό τατον, καὶ θεραπεύειν νῦν ἐργωδέστατον·

[00017] ἐπειδὴ ἐπληθύνθη ἡ ἀνομία, καὶ ὀλίγους εὑρίσκω τοὺς γνη σίους ταύτης θεραπευτάς.

[00018] Γʹ.

[00019] Τοιοῦτος Ἰωσὴφ ὁ ὑμέτερος σιτομέτρης, ταυτὸν δὲ εἰπεῖν καὶ ἡμέτερος, ὃς καὶ προβλέπειν ἤδει λιμὸν ὑπὸ σοφίας ὑπερβαλλούσης, καὶ θεραπεύειν λόγοις οἰκονομίας, ταῖς καλαῖς τῶν βοῶν καὶ πίοσι, τὰς αἰσχρὰς καὶ ἀτρόφους ἰώμενος.

[00020] Καὶ Ἰωσὴφ ὁπότερον βούλει λαμβάνειν, εἴτε τὸν τῆς ἀθανασίας ἐραστὴν, καὶ δημιουργὸν, καὶ ἐπώνυμον·

[00021] εἴτε τὸν ἐκείνου καὶ θρόνῳ, καὶ λόγῳ, καὶ πολιᾷ διάδοχον, τὸν νέον Πέτρον ἡμῖν, οὐχ ἧττον τὴν ἀρετὴν, ἢ τὴν κλῆσιν·

[00022] ὑφ' ὧν τὸ μέσον ἐξεκόπη καὶ συνετρίβη, κἂν ἔτι σπαίρῃ μικρά τε καὶ ἀσθενῆ, καθάπερ τὸ οὐραῖον διακοπέντος τοῦ ὄφεως·

[00023] ὧν ὁ μὲν ἐν γήρᾳ καλῷ καταλύσας τὸν βίον ἐπὶ πολλοῖς τοῖς ἀγωνίσμασι καὶ ἀθλήμασιν, ἄνωθεν ἐποπτεύει, εὖ οἶδα, νῦν τὰ ἡμέτερα, καὶ χεῖρα ὀρέγει τοῖς ὑπὲρ τοῦ καλοῦ κάμνουσι, καὶ τόσῳ μᾶλλον, ὅσῳ τῶν δεσμῶν ἐστιν ἐλεύθερος·

[00024] ὁ δὲ ἐπὶ τὴν αὐτὴν κατάλυσιν, ἢ ἀνάλυσιν, ἐπὶ τοῖς αὐτοῖς ἄθλοις ἐπείγεται, καὶ πλησιάζει μὲν ἤδη τοῖς ἄνω, τοσοῦ τον δὲ μετὰ τῆς σαρκός ἐστιν ἔτι, ὅσον βοηθῆσαι τῷ λόγῳ τὰ τελευταῖα, καὶ τῆς ὁδοῦ γενέσθαι μετὰ δα ψιλεστέρων τῶν ἐφοδίων.

[00025] Δʹ.

[00026] Τούτων ὑμεῖς θρέμματα καὶ προβλήματα τῶν μεγάλων, καὶ δογματιστῶν, καὶ ἀγωνιστῶν τῆς ἀλη θείας, καὶ νικητῶν·

[00027] οὓς οὐ καιρὸς, οὐ δυνάστης, οὐ λόγος, οὐ φθόνος, οὐ φόβος, οὐ κατήγορος, οὐ συκοφάντης, οὐ φανερῶς πολεμῶν, οὐ λαθραίως ἐπιβουλεύων, οὐχ ἡμέτερος τῷ δοκεῖν, οὐκ ἀλλότριος, οὐ χρυσὸς, ὁ ἀφανὴς τύραννος, ᾧ νῦν τὰ πολλὰ μεταῤ ῥίπτεται καὶ πεττεύεται, οὐ θεραπεῖαι, οὐκ ἀπειλαὶ, οὐκ ἐξορίαι μακραί τε καὶ ἀριθμούμεναι (δημεύσει γὰρ οὐκ ἐγένοντο μόνον ἁλωτοὶ, διὰ τὸν μέγαν πλοῦ τον, τὴν ἀκτημοσύνην), οὐκ ἄλλο οὐδὲν τῶν ἀπόντων, ἢ τῶν παρόντων, ἢ τῶν προσδοκωμένων ἐπῆρεν, οὐδὲ ἀνέπεισε χείρους γενέσθαι, καὶ προδοῦναί τι τῆς Τριάδος, καὶ ζημιωθῆναι θεότητα.

[00028] Τοὐναντίον μὲν οὖν ἐῤῥώσθησαν τοῖς κινδύνοις, καὶ φιλοτιμότε ροι γεγόνασιν εἰς εὐσέβειαν.

[00029] Τοιοῦτο γὰρ τὸ παθεῖν ὑπὲρ Χριστοῦ, τῷ φίλτρῳ προστίθησι, καὶ οἷον ἀῤῥαβὼν γίνεται τῶν ἑξῆς ἄθλων τοῖς μεγαλόφροσι.

[00030] [36.245] Τοιαῦτά σου, Αἴγυπτε, τὰ νῦν διηγήματά τε καὶ θαύματα.

[00031] Εʹ.

[00032] Σὺ δέ μοι τοὺς τράγους ἐπῄνεις τοὺς Μενδησίους, καὶ τὸν Μεμφίτην Ἄπιν, μόσχον σιτευτόν τινα καὶ πολύσαρκον, καὶ τὰς Ἴσιδος τελετὰς, καὶ τοὺς Ὀσίριδος σπαραγμοὺς, καὶ τὸν σεμνόν σου Σάραπιν, ξύλον προσκυνούμενον μετὰ μύθου, καὶ χρόνου, καὶ τῆς τῶν προσκυνούντων ἀνοίας, ὡς ὕλην ἄγνωστόν τινα καὶ οὐράνιον, πλὴν ὕλην, κἂν βοηθῆται τῷ ψεύ δει·

[00033] καὶ τὰ ἔτι τούτων αἰσχρότερα, κνωδάλων τινῶν καὶ ἑρπετῶν πολυειδῆ πλάσματα, ὧν πάντων ὑπερ ῆρε Χριστὸς, καὶ οἱ Χριστοῦ κήρυκες·

[00034] ἄλλοι τε ἄλ λως κατὰ τοὺς ἑαυτῶν ἕκαστοι χρόνους ἐκλάμψαντες·

[00035] καὶ δὴ καὶ οἱ νῦν μνημονευθέντες Πατέρες·

[00036] ἀφ' ὧν σὺ γινώσκῃ μᾶλλον, ὦ θαυμασία, σήμερον, ἢ πάντων ὁμοῦ πάντες, καὶ παλαιῶν καὶ νέων διηγημάτων.

[00037] ϛʹ.

[00038] Διὰ ταῦτά σε περιπτύσσομαι καὶ ἀσπάζομαι, λαῶν ἄριστε, καὶ φιλοχριστότατε, καὶ θερμότατε τὴν εὐσέβειαν, καὶ τῶν ἀγόντων ἄξιε·

[00039] οὐ γὰρ ἔχω τι τού του μεῖζον εἰπεῖν, οὐδὲ ᾧ μᾶλλον ἂν ὑμᾶς ξενίσαιμι·

[00040] καὶ δεξιοῦμαι, ὀλίγα μὲν γλώσσῃ, τὰ πολλὰ δὲ δια νοίας κινήμασι.

[00041] Λαὸς ἐμός·

[00042] ἐμὸν γὰρ ὀνομάζω, τὸν ὁμόφρονα καὶ ὁμόδοξον, καὶ παρὰ τῶν αὐτῶν Πατέρων, καὶ τῆς αὐτῆς Τριάδος προσκυνητήν.

[00043] Λαὸς ἐμός·

[00044] ἐμὸς γὰρ, κἂν μὴ δοκῇ τοῖς βασκαίνουσι·

[00045] καὶ, ἵνα πληγῶσι μᾶλλον οἱ τοῦτο πάσχοντες, ἰδοὺ δίδωμι δεξιὰς κοινωνίας ἐπὶ τοσούτων μαρτύρων, ὁρατῶν τε καὶ ἀοράτων·

[00046] καὶ ἀπωθοῦμαι παλαιὰν διαβολὴν νέᾳ χρηστότητι.

[00047] Λαὸς ἐμός·

[00048] ἐμὸς γὰρ, εἰ καὶ τὸν μέγιστον ὁ μικρότατος σφετερίζομαι.

[00049] Τοιαύτη γὰρ ἡ τοῦ Πνεύματος χάρις·

[00050] ὁμοτίμους ποιεῖ τοὺς ὁμό φρονας.

[00051] Λαὸς ἐμός·

[00052] ἐμὸς γὰρ, εἰ καὶ πόῤῥωθεν·

[00053] ὅτι θεϊκῶς συναπτόμεθα, καὶ τρόπον ἄλλον, ἢ ὃν αἱ πα χύτητες.

[00054] Τὰ μὲν γὰρ σώματα τόπῳ συνάπτεται, ψυ χαὶ δὲ Πνεύματι συναρμόζονται.

[00055] Λαὸς ἐμὸς, ὁ πρότερον μὲν φιλοσοφῶν τὸ πάσχειν ὑπὲρ Χριστοῦ, νῦν δὲ τὸ μὴ ποιεῖν, ἐὰν ἐμοὶ πείθησθε, ἀλλ' αὔταρ κες κέρδος τίθεσθαι τὴν τοῦ ποιεῖν ἐξουσίαν, καὶ ἡγεῖσθαι Χριστῷ λατρείαν εἰσφέρειν, ὥσπερ τότε τὴν καρτερίαν, οὕτως ἐν τῷ παρόντι τὴν ἐπιείκειαν.

[00056] Λαὸς, ἐφ' ὃν παρατέτακται ὁ Κύριος τοῦ εὖ ποιῆσαι, ὥσπερ τοῦ κακοποιῆσαι τοὺς ἐναντίους.

[00057] Λαὸς, ὃν ἐξ ελέξατο ἑαυτῷ Κύριος ἐκ πάντων ὧν προσεκαλέσατο.

[00058] Λαὸς, ὁ ἐπὶ τῶν χειρῶν Κυρίου ἐζωγραφημένος, ᾧ, Σὺ γὰρ εἶ θέλημα ἐμὸν, λέγει Κύριος·

[00059] καὶ, Αἱ πύλαι σου γλύμμα·

[00060] καὶ ὅσα τοῖς σωζομένοις ὕστερον.

[00061] Λαὸς, καὶ μή με θαυμάσητε τῆς ἀπληστίας, εἰ [36.248] πολλάκις ὑμᾶς ἀναστρέφω·

[00062] κατατρυφῶ γὰρ ὑμῶν τῇ συνεχείᾳ τῆς κλήσεως, ὥσπερ οἱ θεαμάτων τινῶν, ἢ ἀκουσμάτων ἀπλήστως ἐμφορούμενοι.

[00063] Ζʹ.

[00064] Ἀλλ', ὦ Θεοῦ λαὸς, καὶ ἡμέτερος, καλὴ μὲν ὑμῶν καὶ ἡ πρώην πανήγυρις, ἣν ἐπὶ τῆς θα λάσσης ἐστήσασθε, καὶ εἴπερ ἄλλη τις ὀφθαλμῶν χάρις, ἡνίκα εἶδον δενδρουμένην τὴν θάλασσαν, καὶ χειροποιήτῳ νέφει κεκαλυμμένην, καὶ κάλλος νηῶν, καὶ τάχος, ὥσπερ εἰς πομπὴν ἐσταλμένων, καὶ πνεῦμα μέτριον κατὰ πρύμναν ἱστάμενον, ὥσπερ δορυ φοροῦν ἐξεπίτηδες, καὶ παραπέμπον τῇ πόλει πόλιν πελάγιον·

[00065] καλλίων δὲ ἡ νῦν ὁρωμένη καὶ μεγα λοπρεπεστέρα.

[00066] Οὐ γὰρ τοῖς πολλοῖς φέροντες ὑμᾶς αὐτοὺς ἀνεμίξατε, οὐδὲ πλήθει τὴν εὐσέβειαν ἐμετρήσατε, οὐδὲ δῆμος γενέσθαι μᾶλλον ὀχλώδης ἠν έσχεσθε, ἢ λαὸς Θεοῦ λόγῳ κεκαθαρμένος·

[00067] ἀλλ' ὅσον εἰκὸς, Καίσαρι τὰ τοῦ Καίσαρος εἰσενεγκόντες, τῷ Θεῷ τὰ τοῦ Θεοῦ προσενείματε·

[00068] τῷ μὲν τὸ τέλος, τῷ δὲ τὸν φόβον·

[00069] καὶ τὸν δῆμον τοῖς ὑμετέροις θρέψαντες, ἥκετε καὶ αὐτοὶ παρ' ἡμῶν τραφησόμενοι.

[00070] Σιτοδοτοῦμεν γὰρ καὶ ἡμεῖς, καὶ σιτοδοσίαν ἴσως τῆς ὑμετέρας οὐ φαυλοτέραν.

[00071] Δεῦτε, φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν·

[00072] καλῶ μετὰ τῆς σοφίας ὑμᾶς εἰς τὴν ἐμὴν τράπεζαν.

[00073] Ἐπαινῶ γὰρ τῆς εὐγνωμοσύνης, καὶ προστρέχω τῇ προθυμίᾳ, ὅτι ὡς ἐπὶ λιμένα ἴδιον ἡμᾶς κατηντήσατε, τῷ ὁμοίῳ προσδραμόντες, καὶ τὸ συγγενὲς τῆς πίστεως ἐτιμή σατε, καὶ τῶν ἀτόπων ἐνομίσατε, τοὺς μὲν ὑβριστὰς τῶν ἄνω συμφρονεῖν ἀλλήλοις καὶ συναρμόζε σθαι, καὶ τὸ καθ' ἕκαστον σαθρὸν οἴεσθαι διορ θοῦσθαι τῷ κοινῷ τῆς συστάσεως, καθάπερ τῶν σχοινίων τὰ τῇ πλοκῇ δυναμούμενα, αὐτοὶ δὲ μὴ συνιέναι, μηδὲ συνδεῖσθαι τοῖς ὁμογνώμοσιν, οἷς γε εἰκὸς μᾶλλον·

[00074] αὐτοὶ γὰρ συνάγομεν καὶ θεό τητα.

[00075] Καὶ ἵνα γε εἰδῆτε, μὴ μάτην προσδραμόντες ἡμῖν, μηδὲ ὡς ξένοις καὶ ἀλλοτρίοις, ἀλλ' ἐν ὑμετέ ροις καταχθέντες, καὶ καλῶς ὁδηγηθέντες ὑπὸ τοῦ Πνεύματος, βραχέα περὶ Θεοῦ φιλοσοφήσομεν ὑμῖν.

[00076] Καὶ γνωρίσατε τὰ ὑμέτερα, ὥσπερ οἱ τοῖς ἐπισήμοις τῶν ὅπλων τὸ οἰκεῖον διαγινώσκοντες.

[00077] Ηʹ.

[00078] Δύο διαφορὰς ἐν τοῖς οὖσι γινώσκω τὰς ἀνωτάτω, δεσποτείαν τε καὶ δουλείαν·

[00079] οὐχ ἃς παρ' ἡμῖν, ἢ τύραννις ἔτεμεν, ἢ πενία διέστησεν, ἀλλ' ἃς φύσις διώρισεν, εἴ τῳ φίλον οὕτω καλεῖν.

[00080] Τὸ γὰρ πρῶτον, καὶ ὑπὲρ τὴν φύσιν.

[00081] Τούτων δὲ, ἡ μὲν ποιητική τέ ἐστι, καὶ ἀρχική, καὶ ἀκίνητος·

[00082] ἡ δὲ πεποιημένη, καὶ ὑπὸ χεῖρα, καὶ μεταπίπτουσα.

[00083] Καὶ ἔτι συντομώ [36.249] τερον εἰπεῖν, ἡ μὲν ὑπὲρ χρόνον, ἡ δὲ ὑπὸ χρόνον.

[00084] Καλεῖται δὲ ἡ μὲν, Θεὸς, καὶ ἐν τρισὶ τοῖς μεγίστοις ἵσταται, αἰτίῳ, καὶ δημιουργῷ, καὶ τελειοποιῷ·

[00085] τῷ Πατρὶ λέγω, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι.

[00086] Ἃ μήτε οὕτως ἀλλήλων ἀπήρτηται, ὡς φύσει τέμνεσθαι·

[00087] μήτε οὕτως ἐστένωται, ὡς εἰς ἓν πρόσ ωπον περιγράφεσθαι·

[00088] τὸ μὲν γὰρ τῆς Ἀρειανῆς μανίας, τὸ δὲ τῆς Σαβελλιανικῆς ἀθεΐας ἐστίν·

[00089] ἀλλ' ἔστι, τῶν μὲν πάντη διαιρετῶν ἑνικωτέρα, τῶν δὲ τελείως μοναδικῶν ἀφθονωτέρα.

[00090] Ἡ δὲ μεθ' ἡμῶν τέ ἐστι, καὶ καλεῖται κτίσις, κἂν ἄλλα ἄλλων ὑπεραίρῃ, κατὰ τὴν ἀναλογίαν τῆς πρὸς Θεὸν ἐγγύτητος.

[00091] Θʹ.

[00092] Τούτων δὲ οὕτως ἐχόντων, ὅτῳ μὲν ἡ καρδία πρὸς Κύριον, ἴτω μεθ' ἡμῶν, καὶ προσκυνῶμεν τὴν μίαν ἐν τοῖς τρισὶ θεότητα, μηδὲν ταπεινότητος ὄνο μα τῇ ἀπροσίτῳ δόξῃ προσάγοντες, ἀλλὰ τὰς ὑψώσεις τοῦ ἑνὸς Θεοῦ ἐν τοῖς τρισὶ διαπαντὸς ἐν τῷ λάρυγγι φέροντες.

[00093] Ἧς γὰρ οὐδὲ μέγεθος φύσεως κυρίως ἔστιν εἰπεῖν, διὰ τὸ ἄπειρον καὶ ἀόριστον, πῶς ταύτη τα πεινότητα ἐπεισάξομεν;

[00094] Ὅστις δὲ ἀλλοτρίως ἔχει Θεοῦ, καὶ διὰ τοῦτο τέμνει τὴν μίαν καὶ ὑπὲρ πάντα τὰ ὄντα οὐσίαν εἰς ἀνισότητα φύσεων, θαυμαστὸν, εἰ μὴ τῇ ῥομφαίᾳ τμηθήσεται, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων τεθήσεται, πονηρὸν δρεπομένου πονηρᾶς δόξης καρπὸν, καὶ νῦν καὶ ὕστερον.

[00095] Ι'.

[00096] Περὶ μὲν γὰρ τοῦ Πατρὸς, τί χρὴ καὶ λέγειν, οὗ καὶ τὸ παρὰ πάντων συγκεχωρηκὸς φείδεσθαι ταῖς φυσικαῖς ἐννοίαις προκατειλημμένων;

[00097] Εἰ καὶ τῆς ἀτιμίας τὰ πρῶτα ἠνέγκατο, πρῶτος τμηθεὶς εἰς Ἀγαθὸν καὶ Δημιουργὸν παρὰ τῆς ἀρχαίας και νοτομίας.

[00098] Περὶ δὲ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, σκοπεῖτε ὡς ἁπλῶς καὶ συντόμως διαλεξώμεθα.

[00099] Εἰ μέν τις ἔχοι τούτων τι λέγειν τρεπτὸν ἢ ἀλλοιω τὸν, ἢ χρόνῳ, ἢ τόπῳ, ἢ δυνάμει, ἢ ἐνεργείᾳ με τρούμενον, ἢ οὐ φυσικῶς ἀγαθὸν, ἢ οὐκ αὐτοκίνητον, ἢ οὐκ αὐτεξούσιον, ἢ λειτουργὸν, ἢ ὑμνῳδὸν, ἢ φοβού μενον, ἢ ἐλευθερούμενον, ἢ οὐ συναριθμούμενον·

[00100] δεικνύτω τοῦτο, καὶ ἡμεῖς στέρξομεν, συνδούλων σεμνότητι δοξαζόμενοι, εἰ καὶ Θεὸν ζημιούμεθα.

[00101] Εἰ [36.252] δὲ πάντα ὅσα ἔχει ὁ Πατὴρ, τοῦ Υἱοῦ ἐστι, πλὴν τῆς αἰτίας·

[00102] πάντα δὲ ὅσα τοῦ Υἱοῦ, καὶ τοῦ Πνεύ ματος, πλὴν τῆς υἱότητος, καὶ τῶν ὅσα σωματικῶς περὶ αὐτοῦ λέγεται διὰ τὸν ἐμὸν ἄνθρωπον, καὶ τὴν ἐμὴν σωτηρίαν, ἵνα τὸ ἐμὸν λαβὼν, τὸ ἑαυτοῦ χαρίσηται διὰ τῆς καινῆς ἀνακράσεως·

[00103] παύσασθε παραληροῦντες ὀψὲ γοῦν, ὦ σοφισταὶ κενῶν ῥη μάτων, αὐτοῦ πιπτόντων.

[00104] Καὶ ἵνα τί ἀποθνήσκετε, οἶκος Ἰσραὴλ, ἵν' ἐκ τῆς Γραφῆς ὑμᾶς ὀδύρωμαι;

[00105] ΙΑ'.

[00106] Ὡς ἔγωγε αἰδοῦμαι μὲν τὰς τοῦ Λόγου προσ ηγορίας, τοσαύτας τε οὔσας, καὶ οὕτως ὑψηλὰς καὶ μεγάλας, ἃς καὶ δαίμονες ἐνετράπησαν·

[00107] αἰδοῦ μαι δὲ τὴν ὁμοτιμίαν τοῦ Πνεύματος·

[00108] φοβοῦμαι δὲ τὴν ὡρισμένην ἀπειλὴν τοῖς εἰς αὐτὸ βλασφημοῦσι.

[00109] Βλασφημία δὲ, οὐχ ἡ θεολογία, τὸ δὲ ἀλλοτριοῦν τῆς θεότητος.

[00110] Καὶ τηρητέον ἐνταῦθα, ὅτι τὸ μὲν βλασφη μούμενον, ὁ Κύριος ἦν·

[00111] τὸ δὲ ἐκδικούμενον, τὸ Πνεῦ μα τὸ ἅγιον, δῆλον ὡς Κύριος.

[00112] Οὐ φέρω ἀφώ τιστος εἶναι μετὰ τὸ φώτισμα, παραχαράσσων τι τῶν τριῶν, εἰς ἃ βεβάπτισμαι, καὶ ὄντως ἐντα φῆναι τῷ ὕδατι, οὐκ εἰς ἀναγέννησιν, ἀλλ' εἰς νέκρω σιν τελειούμενος.

[00113] ΙΒ'.

[00114] Τολμῶ τι φθέγξασθαι, ὦ Τριάς·

[00115] καὶ συγγνώ μη τῇ ἀπονοίᾳ·

[00116] περὶ ψυχῆς γὰρ ὁ κίνδυνος.

[00117] Εἰκών εἰμι καὶ αὐτὸς Θεοῦ, τῆς ἄνω δόξης, εἰ καὶ κάτω τέθειμαι.

[00118] Οὐ πείθομαι τῷ ὁμοτίμῳ σώζεσθαι.

[00119] Εἰ μὴ Θεὸς τὸ Πνεῦμα τὸ ἅγιον, θεωτήτω πρῶτον, καὶ οὕτω θεούτω με τὸν ὁμότιμον.

[00120] Νῦν δὲ τίς ἡ ἀπάτη τῆς χάριτος, μᾶλλον δὲ, τῶν διδόντων τὴν χάριν, ὡς εἰς Θεὸν πιστεῦσαι, καὶ ἀνελθεῖν ἄθεον;

[00121] ἄλλο καθ ομολογῆσαι, καὶ ἄλλο διδάσκεσθαι;

[00122] οἷαι τῶν λόγων αἱ κλοπαὶ καὶ ἀπάται, δι' ἄλλης ἐρωτήσεως καὶ ὁμολογίας, εἰς ἄλλο φέρουσαι;

[00123] Οἴμοι τῆς λαμπρότητος, εἰ μετὰ τὸν λουτρὸν μεμελάνωμαι, εἰ λαμπροτέρους ὁρῶ τοὺς οὔπω κεκαθαρμένους, εἰ τῇ τοῦ βαπτιστοῦ κακοδοξίᾳ κυβεύομαι, εἰ ζητῶ Πνεῦμα κρεῖττον, καὶ οὐχ εὑρίσκω! Δός μοι λου τρὸν δεύτερον, καὶ περὶ τοῦ πρώτου κακῶς ἐννόησον.

[00124] Τί μοι φθονεῖς τῆς τελείας ἀναγεννήσεως;

[00125] τί με ποιεῖς, ναὸν ὄντα τοῦ Πνεύματος ὡς Θεοῦ, κατοικη τήριον κτίσματος;

[00126] τί τὸ μὲν τιμᾷς τῶν ἐμῶν, τὸ δὲ ἀτιμάζεις κακῶς θεότητι διαιτῶν, ἵν' ἐμοὶ τέ μης τὸ χάρισμα, μᾶλλον δὲ, αὐτὸν ἐμὲ τῷ χα ρίσματι;

[00127] Ἢ τὸ πᾶν τίμησον, ὦ καινὲ θεολόγε, [36.253] ἢ τὸ πᾶν ἀτίμασον, ἵνα, κἂν ἀσεβῇς, ἀλλὰ σεαυτῷ γε ἀκόλουθος ᾖς, μὴ κρίνων ἀνίσως φύσιν ὁμότι μον.

[00128] ΙΓʹ.

[00129] Κεφάλαιον δὲ τοῦ λόγου·

[00130] Μετὰ τῶν χερου βὶμ δόξασον, συναγόντων τὰς τρεῖς ἁγιότητας εἰς μίαν κυριότητα, καὶ τοσοῦτον παραδεικνύντων τῆς πρώτης οὐσίας, ὅσον ὑπανοίγουσι τοῖς φιλοπόνοις αἱ πτέρυγες.

[00131] Μετὰ Δαβὶδ φωτίσθητι, πρὸς τὸ φῶς λέ γοντος·

[00132] Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς, οἷον ὥσπερ ἐν τῷ Πνεύματι τὸν Υἱόν·

[00133] οὗ τί ἂν γένοιτο τηλαυ γέστερον;

[00134] Μετὰ Ἰωάννου βρόντησον, τοῦ υἱοῦ τῆς βροντῆς, μηδὲν περὶ Θεοῦ ταπεινὸν ἠχῶν, μηδ' ἀπὸ γῆς, ἀλλ' ὑψηλὸν καὶ μετέωρον (τὸν ἐν ἀρχῇ τε ὄντα, καὶ πρὸς τὸν Θεὸν ὄντα, καὶ Θεὸν Λόγον, Θεὸν γινώσκων, καὶ Θεὸν ἀληθινὸν ἐξ ἀληθινοῦ Πατρὸς, ἀλλ' οὐ σύνδουλον ἀγαθὸν, υἱοῦ προσηγορίᾳ μόνῃ τετιμημένον·

[00135] καὶ τὸν ἄλλον Παράκλητον, δηλαδὴ ἄλλον τοῦ λέγοντος·

[00136] Θεοῦ δὲ ὁ Λόγος)·

[00137] καὶ ὅταν μὲν, Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν, ἀναγινώσκῃς, τὸ συναφὲς τῆς οὐσίας ἐνοπτριζόμενος·

[00138] ὅταν δὲ, Πρὸς αὐτὸν ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα, τὸ διῃρημένον τῶν ὑποστάσεων λογιζόμενος·

[00139] ὅταν δὲ, τὸ Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος ὄνομα, τὰς τρεῖς ἰδιότητας.

[00140] ΙΔʹ.

[00141] Μετὰ Λουκᾶ ἐμπνεύσθητι, ταῖς Πράξεσι τῶν ἀποστόλων προσομιλῶν.

[00142] Τί μετὰ Ἀνανίου τάττῃ καὶ Σαπφείρας τῶν καινῶν νοσφιστῶν (εἴ γε καινὸν ὄντως ἡ τῶν ἰδίων κλοπὴ), καὶ ταῦτα νοσφιζόμενος, οὐκ ἀργύριον, οὐδ' ἄλλο τι τῶν εὐτελῶν καὶ μικρῶν, οἷον γλῶσσαν χρυσῆν, ἢ ψιλὴν, ἢ δίδραχμον, ὥς ποτε στρατιώτης ἄπληστος, ἀλλ' αὐτὴν κλέπτων θεότητα, καὶ ψευδόμενος, οὐκ ἄνθρωπον, ἀλλὰ Θεὸν, ὅπερ ἤκουσας;

[00143] Τί;

[00144] Μηδὲ τὴν ἐξουσίαν αἰδῇ τοῦ Πνεύματος, ἐφ' οὓς θέλει, καὶ ἡνίκα, καὶ ὅσον πνέοντος;

[00145] Ἐπιδημεῖ τοῖς περὶ Κορνήλιον πρὸ τοῦ βαπτίσματος, ἄλλοις μετὰ τὸ βάπτισμα διὰ τῶν ἀποστόλων.

[00146] Ὥστε ἀμφοτέρωθεν, ἔκ τε ὧν ἐπιφοιτᾷ δεσποτικῶς, ἀλλ' οὐ δουλικῶς, καὶ ἐξ ὧν ἐπιζητεῖται πρὸς τὴν τελείωσιν, τὴν θεότητα μαρτυρεῖσθαι τοῦ Πνεύματος.

[00147] ΙΕʹ.

[00148] Μετὰ Παύλου θεολόγησον, τοῦ πρὸς τρίτον οὐρανὸν ἀναχθέντος·

[00149] ποτὲ μὲν συναριθμοῦντος τὰς τρεῖς ὑποστάσεις, καὶ τοῦτο ἐνηλλαγμένως, οὐ τετηρημένως ταῖς τάξεσι, προαριθμοῦντος, ἐναριθμοῦν [36.256] τος, ὑπαριθμοῦντος τὸ αὐτό.

[00150] Ἵνα τί;

[00151] Δηλώσῃ τὴν ἰσοτιμίαν τῆς φύσεως.

[00152] Ποτὲ δὲ τῶν τριῶν μεμνημένου·

[00153] ποτὲ δὲ τινῶν, ἢ τινὸς, ὡς ἑπομένου πάντως τοῦ λείποντος·

[00154] καὶ ποτὲ μὲν τὴν ἐνέργειαν τοῦ Θεοῦ τῷ Πνεύματι διδόντος, ὡς οὐδὲν διαφέροντος·

[00155] ποτὲ δὲ, ἀντὶ τοῦ Πνεύματος, τὸν Χριστὸν ἐπιφέροντος·

[00156] καὶ ὅτε μὲν διαιρεῖ τὰς ὑποστάσεις, εἷς Θεὸς, λέγοντος, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν·

[00157] καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ.

[00158] Ὅτε δὲ συνάγει τὴν μίαν θεότητα·

[00159] ὅτι ἐξ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν τὰ πάντα, δηλαδὴ διὰ τοῦ ἁγίου Πνεύματος, ὡς πολλαχοῦ δείκνυται τῆς Γραφῆς.

[00160] Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00161] Ἀμήν.

[00162] ἀ

---

© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.

**0329-0390 - Gregorius Nazianzenus - In Aegyptiorum adventum 1**

**Litterarum Omnium Conspectus: 134 Litterae, quae repetitae sunt in 11,580 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 794 | Α | 0913 | 11 |
| β | 0946 | 39 | Β | 0914 | 3 |
| γ | 0947 | 170 | Γ | 0915 | 5 |
| δ | 0948 | 211 | Δ | 0916 | 0 |
| ε | 0949 | 606 | Ε | 0917 | 8 |
| ζ | 0950 | 26 | Ζ | 0918 | 1 |
| η | 0951 | 162 | Η | 0919 | 1 |
| θ | 0952 | 138 | Θ | 0920 | 24 |
| ι | 0953 | 494 | Ι | 0921 | 6 |
| κ | 0954 | 372 | Κ | 0922 | 21 |
| λ | 0955 | 313 | Λ | 0923 | 15 |
| μ | 0956 | 427 | Μ | 0924 | 8 |
| ν | 0957 | 987 | Ν | 0925 | 1 |
| ξ | 0958 | 38 | Ξ | 0926 | 0 |
| ο | 0959 | 822 | Ο | 0927 | 6 |
| π | 0960 | 321 | Π | 0928 | 35 |
| ρ | 0961 | 419 | Ρ | 0929 | 0 |
| ς | 0962 | 493 | • | 0930 | 0 |
| σ | 0963 | 381 | Σ | 0931 | 7 |
| τ | 0964 | 981 | Τ | 0932 | 18 |
| υ | 0965 | 159 | Υ | 0933 | 7 |
| φ | 0966 | 101 | Φ | 0934 | 0 |
| χ | 0967 | 63 | Χ | 0935 | 9 |
| ψ | 0968 | 15 | Ψ | 0936 | 0 |
| ω | 0969 | 160 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 4 | | | 0 |
| ῥ | 8165 | 7 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 103 | έ | 8051 | 132 | ή | 8053 | 44 | ί | 8055 | 164 | ό | 8057 | 141 | ύ | 8059 | 108 | ώ | 8061 | 33 |
| ὰ | 8048 | 92 | ὲ | 8050 | 100 | ὴ | 80852 | 69 | ὶ | 8054 | 214 | ὸ | 8056 | 155 | ὺ | 8058 | 20 | ὼ | 8060 | 3 |
| ᾶ | 8118 | 19 | | | 0 | ῆ | 8134 | 68 | ῖ | 8150 | 77 | | | 0 | ῦ | 8166 | 121 | ῶ | 8182 | 109 |
| ἀ | 7936 | 101 | ἐ | 7952 | 120 | ἠ | 7968 | 3 | ἰ | 7984 | 66 | ὀ | 8000 | 10 | ὐ | 8016 | 91 | ὠ | 8032 | 0 |
| ἁ | 7937 | 7 | ἑ | 7953 | 8 | ἡ | 7969 | 34 | ἱ | 7985 | 21 | ὁ | 8001 | 36 | ὑ | 8017 | 47 | ὡ | 8033 | 13 |
| ἂ | 7938 | 8 | ἒ | 7954 | 0 | ἢ | 7970 | 28 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 0 |
| ἃ | 7939 | 5 | ἓ | 7955 | 1 | ἣ | 7971 | 2 | ἳ | 7987 | 0 | ὃ | 8003 | 6 | ὓ | 8019 | 2 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 32 | ἔ | 7956 | 14 | ἤ | 7972 | 3 | ἴ | 7988 | 12 | ὄ | 8004 | 9 | ὔ | 8020 | 3 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 3 | ἕ | 7957 | 3 | ἥ | 7973 | 1 | ἵ | 7989 | 10 | ὅ | 8005 | 22 | ὕ | 8021 | 14 | ὥ | 8037 | 9 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 1 | ἶ | 7990 | 6 | | | 0 | ὖ | 8022 | 4 | ὦ | 8038 | 5 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 1 | ἷ | 7991 | 6 | | | 0 | ὗ | 8023 | 5 | ὧ | 8039 | 7 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 1 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 1 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 3 |
| ᾳ | 8115 | 9 | | | 0 | ῃ | 8131 | 12 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 21 |
| ᾴ | 8116 | 1 | | | 0 | ῄ | 8132 | 1 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 3 | | | 0 | ῇ | 8135 | 13 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 33 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0329-0390 - Gregorius Nazianzenus - In Aegyptiorum adventum 1**
**Verborum Omnium Conspectus: 1,207Verba, quae repetita sunt in 6,202,604 occasionibus**

---

ἃ [00015] [00112]
Ἀ [00086]
ἀ [00162]
Α [00003]
ἀγαθὸν [00099] [00134]
Ἀγαθὸν [00097]
ἅγιον [00111] [00119]
ἁγιότητας [00130]
ἁγίου [00098] [00139] [00159]
ἁγίῳ [00085]
ἄγνωστόν [00032]
ἀγόντων [00038]
ἀγωνίσμασι [00023]
ἀγωνιστῶν [00026]

**ἀθανασίας** [00020]
**ἀθεΐας** [00088]
**ἄθεον** [00120]
**ἀθλήμασιν** [00023]
**ἄθλοις** [00024]
**ἄθλων** [00029]
**Aἱ** [00059]
**αἱ** [00053] [00122] [00130]
**Aἴγυπτε** [00030]
**Aἴγυπτον** [00006]
**Aἰγύπτου** [00002] [00004] [00005] [00006] [00010]
**αἰδῇ** [00144]
**αἰδοῦ** [00107]
**αἰδοῦμαι** [00106]
**αἰσχρὰς** [00019]
**αἰσχρότερα** [00033]
**αἰτίας** [00101]
**αἰτίῳ** [00084]
**αἰῶνας** [00160]
**αἰώνων** [00160]
**ἀκατάλυτον** [00009]
**ἀκίνητος** [00081]
**ἀκόλουθος** [00127]
**ἀκούειν** [00009]
**ἀκοῦσαι** [00016]
**ἀκουσμάτων** [00062]
**ἀκτημοσύνην** [00027]
**ἄλ** [00034]
**ἀλη** [00026]
**ἀληθινὸν** [00134]
**ἀληθινοῦ** [00134]
**ἀλλ** [00012] [00055] [00067] [00075] [00079] [00089] [00112] [00134] [00134] [00142] [00146]
**Ἀλλ** [00064]
**ἀλλὰ** [00012] [00014] [00016] [00092] [00127] [00142]
**ἄλλα** [00090]
**ἄλλη** [00064]
**ἀλλήλοις** [00073]
**ἀλλήλων** [00086]
**ἄλλης** [00122]
**ἄλλο** [00027] [00121] [00121] [00122] [00142]
**ἄλλοι** [00034]
**ἄλλοις** [00145]
**ἀλλοιω** [00099]
**ἄλλον** [00053] [00135] [00135]
**ἀλλοτρίοις** [00075]
**ἀλλότριος** [00027]
**ἀλλοτριοῦν** [00109]
**ἀλλοτρίως** [00094]
**ἄλλων** [00090]
**ἁλωτοὶ** [00027]
**Ἀμήν** [00161]
**ἀμφοτέρωθεν** [00146]
**ἀν** [00012]
**ἂν** [00039] [00133]
**ἀναγεννήσεως** [00124]
**ἀναγέννησιν** [00112]
**ἀναγινώσκῃς** [00137]
**ἀνακράσεως** [00102]
**ἀναλογίαν** [00090]
**ἀνάλυσιν** [00024]
**Ἀνανίου** [00142]
**ἀναστρέφω** [00061]
**ἀναχθέντος** [00148]
**ἀνελθεῖν** [00120]
**ἀνεμίξατε** [00066]
**ἀνέπεισε** [00027]
**ἄνθρωπον** [00102] [00142]
**ἀνισότητα** [00094]
**ἀνίσως** [00127]
**ἀνοίας** [00032]
**ἀνόλεθρόν** [00009]
**ἀνομία** [00017]
**ἀντὶ** [00155]
**ἄνω** [00024] [00073] [00117]
**ἄνωθεν** [00023]
**ἀνωτάτω** [00078]
**ἄξιε** [00038]
**ἀοράτων** [00045]
**ἀόριστον** [00093]
**ἀπ** [00004] [00006]
**ἀπάται** [00122]
**ἀπάτη** [00120]
**ἀπειλαὶ** [00027]
**ἀπειλὴν** [00108]
**ἄπειρον** [00093]
**ἀπήρτηται** [00086]
**Ἄπιν** [00032]
**ἀπίστων** [00094]
**ἀπληστίας** [00061]
**ἄπληστος** [00142]
**ἀπλήστως** [00062]
**ἁπλῶς** [00098]
**ἀποθνήσκετε** [00104]
**ἀπονοίᾳ** [00115]
**ἀπόντων** [00027]
**ἀποστόλων** [00141] [00145]
**ἀπροσίτῳ** [00092]
**ἀπωθοῦμαι** [00046]
**ἀργύριον** [00142]
**Ἀρειανῆς** [00088]
**ἀρετὴν** [00021]
**ἀριθμούμεναι** [00027]
**ἄριστε** [00038]
**ἄριστοι** [00012]
**ἀῤῥαβὼν** [00029]
**ἄρτον** [00071]
**ἄρτος** [00009]
**ἄρτου** [00015]
**ἀρχαίας** [00097]
**ἀρχῇ** [00134]
**ἀρχικὴ** [00081]
**ἃς** [00079] [00079] [00106]
**ἀσεβῆς** [00127]
**ἀσθενῆ** [00022]
**ἀσπάζομαι** [00038]
**ἀτιμάζεις** [00126]

**ἀτίμασον** [00127]
**ἀτιμίας** [00097]
**ἀτόπων** [00073]
**ἀτρόφους** [00019]
**αὖταρ** [00055]
**αὐτεξούσιον** [00099]
**αὐτὴν** [00024] [00142]
**αὐτῆς** [00042]
**αὐτὸ** [00108]
**αὐτό** [00149]
**αὐτοὶ** [00069] [00073] [00074]
**αὐτοῖς** [00024]
**αὐτοκίνητον** [00099]
**αὐτὸν** [00126] [00138] [00159]
**αὐτόν** [00156]
**αὐτὸς** [00005] [00117]
**αὐτοῦ** [00094] [00102] [00103] [00157] [00159] [00159]
**αὐτοὺς** [00066]
**Αὐτῷ** [00160]
**αὐτῷ** [00138]
**αὐτῶν** [00042]
**ἀφ** [00036]
**Ἀφ** [00012]
**ἀφανὴς** [00027]
**ἀφθονωτέρα** [00089]
**ἀφώ** [00112]

**Β** [00011]
**βάπτισμα** [00145]
**βαπτίσματος** [00145]
**βαπτιστοῦ** [00123]
**βασκαίνουσι** [00044]
**βεβάπτισμαι** [00112]
**βὶμ** [00130]
**βίον** [00023]
**βλασφη** [00110]
**Βλασφημία** [00109]
**βλασφημοῦσι** [00108]
**βοηθῆσαι** [00024]
**βοηθῆται** [00032]
**βούλει** [00020]
**βοῶν** [00019]
**βραχέα** [00075]
**βροντῆς** [00134]
**βρόντησον** [00134]

**Γ** [00018]
**γὰρ** [00012] [00013] [00027] [00029] [00039] [00042] [00044] [00048] [00049] [00052] [00054] [00058] [00062] [00066] [00070] [00073] [00074] [00080] [00088] [00093] [00096] [00116]
**γάρ** [00004]
**γε** [00073] [00075] [00127] [00142]
**γεγόνασιν** [00028]
**γενέσθαι** [00024] [00027] [00066]
**γένοιτο** [00133]
**γέστερον** [00133]
**γήρᾳ** [00023]
**γῆς** [00005] [00134]
**γίνεται** [00029]
**γινώσκειν** [00012]
**γινώσκῃ** [00036]
**γινώσκω** [00078]
**γινώσκων** [00134]
**γλύμμα** [00059]
**γλῶσσαν** [00142]
**γλώσσῃ** [00040]
**γνη** [00017]
**γνωρίσατε** [00076]
**γοντος** [00131]
**γοῦν** [00103]
**Γραφῆς** [00104] [00159]
**γραφομένην** [00014]

**Δ** [00025]
**δα** [00024]
**Δαβὶδ** [00131]
**δαίμονες** [00106]
**δὲ** [00006] [00006] [00007] [00014] [00019] [00024] [00024] [00040] [00054] [00055] [00065] [00068] [00073] [00081] [00082] [00083] [00084] [00088] [00089] [00090] [00092] [00094] [00098] [00101] [00102] [00107] [00108] [00109] [00109] [00111] [00120] [00120] [00126] [00126] [00129] [00136] [00138] [00139] [00152] [00153] [00155] [00158]
**δέ** [00032]
**δει** [00032]
**δείκνυται** [00159]
**δεικνύτω** [00100]
**δεῖνα** [00014]
**δενδρουμένην** [00064]
**δεξιὰς** [00045]
**δεξιοῦμαι** [00040]
**δεσμῶν** [00023]
**δεσποτείαν** [00078]
**δεσποτικῶς** [00146]
**Δεῦτε** [00071]
**δεύτερον** [00123]
**δὴ** [00035]
**δηλαδὴ** [00135] [00159]
**δῆλον** [00111]
**Δηλώσῃ** [00151]
**δημεύσει** [00027]
**Δημιουργὸν** [00097]
**δημιουργὸν** [00020]
**δημιουργῷ** [00084]
**δῆμον** [00014] [00069]
**δῆμος** [00066]
**δήμους** [00013]
**δι** [00122] [00157] [00157] [00159]
**Διὰ** [00038]
**διὰ** [00027] [00093] [00094] [00102] [00102] [00145] [00159]
**δια** [00040]
**διαβολὴν** [00046]
**διαγινώσκοντες** [00076]
**διάδοχον** [00021]
**διαιρεῖ** [00156]
**διαιρετῶν** [00089]

διαιτῶν [00126]
διακοπέντος [00022]
διαλεξώμεθα [00098]
διαπαντὸς [00092]
διαφέροντος [00154]
διαφορὰς [00078]
διδάσκεσθαι [00121]
διδόντος [00154]
διδόντων [00120]
διδοὺς [00009]
δίδραχμον [00142]
δίδωμι [00045]
διέστησεν [00079]
διηγήματά [00030]
διηγημάτων [00036]
διῃρημένον [00138]
δίκαιον [00004]
διορ [00073]
δίψαν [00015]
διώρισεν [00079]
δογματιστῶν [00026]
δοκεῖν [00027]
δοκῇ [00044]
δοκῶ [00009]
δόξα [00160]
δοξαζόμενοι [00100]
δόξασον [00130]
δόξῃ [00092]
δόξης [00094] [00117]
δορυ [00064]
Δός [00123]
δουλείαν [00078]
δουλικῶς [00146]
δρεπομένου [00094]
δυνάμει [00099]
δυναμούμενα [00073]
δυνάστης [00027]
Δύο [00078]

Ε [00031]
ἐὰν [00055]
ἑαυτοῦ [00102]
ἑαυτῷ [00057]
ἑαυτῶν [00034]
ἐγγύτητος [00090]
ἐγένοντο [00027]
Ἐγὼ [00137]
ἔγωγε [00106]
ἐζωγραφημένος [00058]
Εἰ [00097] [00099] [00101] [00119]
εἰ [00048] [00052] [00061] [00094] [00100] [00117] [00123] [00123] [00123] [00123]
εἴ [00079] [00142]
εἰ [00058]
εἰδῆτε [00075]
εἶδον [00064]
